www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ

## ΤΩΝ ΟΣΙΩΝ ΠΑΤΕΡΩΝ ΤΩΝ ΑΝΑΙΡΕΘΕΝΤΩΝ ΕΙΣ ΤΗΝ ΜΟΝΗΝ ΤΟΥ ΑΓΙΟΥ ΣΑΒΒΑ

τήν 16ην Μαΐου τοῦ 614 μ.Χ.

**Ποίημα**
**Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου**
**Ὑμνογράφου τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας**



**Ἐκδόσεις «ΟΡΘΟΔΟΞΟΣ ΚΥΨΕΛΗ»**

www.tezaurliturgic.ro

Μαΐου ιστ'

## Μνήμη τῶν Ὁσίων καί Θεοφόρων Πατέρων τῶν ἐν τῇ Μονῇ τοῦ Ἁγίου Σάββα ἀναιρεθέντων.

**Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου.**

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

**Ἱστῶμεν στίχους δ'. καί ψάλλομεν τά ἑξῆ Προσόμοια.**

*Ἦχος α'. Πανεύφημοι Μάρτυρες.*

**Πατέρων** πληθύν τήν ἱεράν, δεῦτε μακαρίσωμεν, τούς ἐναρέτως βιώσαντας, πόνοις ἀσκήσεως, ἐν τῇ θείᾳ Λαύρᾳ, Σάββα τοῦ θεόφρονος, καί πόνους μαρτυρίου ἐνέγκαντας, αὐτοῖς κραυγάζοντες˙ Θεοφόροι παμμακάριστοι, δυσωπεῖτε, ὑπέρ τῶν ψυχῶν ἡμῶν.

**Τεμνόμενοι** ξίφει κεφαλάς, ἀσκηταί μακάριοι, καί μεληδόν συγκοπτόμενοι, ὡς ἄρνες τίμιοι, χερσί τῶν βαρβάρων, τῷ Χριστῷ προσήχθητε, ὡς θύματα σεπτά καί ἀμώμητα, καί διπλοῦν στέφανον, ἐπαξίως ἐκομίσασθε, δυσωποῦντες, ὑπέρ τῶν ψυχῶν ἡμῶν.

**Χριστοῦ** τόν ζυγόν τόν ἐλαφρόν, φέροντες μακάριοι, βαρβαρικήν ἰταμότητα, στερρῶς ὑπέστητε, καί

www.tezaurliturgic.ro



ποικίλοις τρόποις, θάνατον δεξάμενοι, ζωήν πρός ἀτελεύτητον ἤρθητε, Ὁσιομάρτυρες, καί Μαρτύρων τοῖς στρατεύμασι, καί Ὁσίων, χαίροντες συνήφθητε.

**Ἰσάγγελον** ἔχοντες ζωήν, ἀσκηταί μακάριοι, ἀθλητικῶς προσηνέχθητε, Χριστῷ γηθόμενοι, καί διπλῶν βραβείων, παρ᾽ αὐτοῦ ἐτύχετε, τοῦ ξύλου τῆς ζωῆς ἀπολαύοντες, ἀλλ᾽ ἱκετεύομεν, μή ἐλλίπητε πρεσβεύοντες, τοῦ σωθῆναι τούς ὑμᾶς γεραίροντας.

*Δόξα. Ἦχος β'.*

**Ἐξ ἁπαλῶν** ὀνύχων, ἀνατεθέντες τῷ Χριστῷ, τῶν ἐντολῶν αὐτοῦ ἐργάται δόκιμοι, ἀληθῶς ἐδείχθητε, Θεοφόροι Πατέρες˙ καί ὁλικῶς αὐτῷ ἀτενίζοντες, βαρβαρικήν οὐκ ἐπτοήθητε ἔφοδον, ὁμοφροσύνῃ ψυχῆς, καί στερροτάτῃ γνώμῃ˙ καί ἀπηνῶς θανατούμενοι, ροπάλοις καί πυγμαῖς καί ξίφεσι, μαρτυρικῶν ἐπάθλων ἠξιώθητε, παρά Χριστοῦ τοῦ Θεοῦ, τοῦ παρέχοντος ἡμῖν τό μέγα ἔλεος.

*Καί νῦν. Τῆς Ἑορτῆς.*

## ΑΠΟΣΤΙΧΑ

*Ἦχος β'. Οἶκος τοῦ Ἐφραθᾶ.*

**Ὅμιλος** ἱερός, Πατέρων θεοφόρων, μαρτυρικοῖς ἀγῶσιν, ἐκλάμψαντες τῷ κόσμῳ, ἡμᾶς καταφαιδρύνουσι.

*Στίχ: Τίμιος ἐναντίον Κυρίου...*

**Αἵμασιν** ἱεροῖς, ἀρδεύσαντες τήν Λαύραν, τοῦ θεοφόρου Σάββα, τῆς δόξης τοῦ Κυρίου, Πατέρες ἠξιώθητε.

www.tezaurliturgic.ro



*Στίχ: Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ...*

**Χαίροις** τῶν Ἀσκητῶν, ὑπέρτιμε χορεία, ὁσίων καί Μαρτύρων, συμμέτοχοι ἐν πᾶσι, στερροί Ὁσιομάρτυρες.

*Δόξα. Τριαδικόν.*

**Φέγγει** Τριαδικῷ, λαμπόμενοι ἀΰλως, Πατέρες θεοφόροι, βαρβαρικήν μανίαν, οὐδόλως ἐπτοήθητε.

*Καί νῦν. Θεοτοκίον.*

**Ἄραντες** τόν Σταυρόν, τοῦ σοῦ Υἱοῦ Παρθένε, οἱ Ὅσιοι Πατέρες, μαρτυρικῷ θανάτῳ, αὐτῷ προσανηνέχθησαν.

*Νῦν ἀπολύεις, τό τρισάγιον τό Ἀπολυτίκον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ, καί ἀπόλυσις.*



www.tezaurliturgic.ro

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

**Μετά τόν Προοιμιακόν, τό Μακάριος ἀνήρ. Εἰς δέ τό Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ΄. καί ψάλλομεν τά ἑξῆς Προσόμοια.**

*Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.*

**Δῆμος** θεοφόρων Ἀσκητῶν, κατηγλαϊσμένων ἐνθέως, οἰκείῳ αἵματι, σήμερον ἐξέλαμψαν, δίκην ἀστέρων λαμπρῶν, οἱ ἐν Λαύρᾳ ἐμπρέψαντες, Σάββα τοῦ Ὁσίου, καί κόσμον πυρσεύουσιν, θείοις χαρίσμασιν· δεῦτε τήν σεπτήν αὐτῶν μνήμην, ὕμνοις ἑορτάσωμεν πάντες, τούτων τά παλαίσματα γεραίροντες.

**Πόθῳ** τετρωμένοι τοῦ Χριστοῦ, κόσμου κατελείψατε πάντα, Πατέρες Ὅσιοι, καί ὁμοῦ βιώσαντες, βίον ἰσάγγελον, τήν βαρβάρων ὑπέστητε, ὁρμήν στερροψύχως, ὑφ᾽ ὧν θανατούμενοι, ποικίλοις τρόποις ὁμοῦ, ὥσπερ προσφορά τῷ Δεσπότῃ, καί ὁλοκαρπώματα θεῖα, χαίροντες προσήχθητε μακάριοι.

**Ὅλῃ** διανοίᾳ καί ψυχῇ, τοῦ καλοῦ Ποιμένος Πατέρες, Χριστοῦ τοῖς ἴχνεσιν, ὡς ἄρνες ἑπόμενοι, οὐκ ἐπτοήθητε, τῶν βαρβάρων τήν ἔφοδον, καί πικράς ὀδύνας, φέροντες ὑπέστητε, στερρῶς τόν θάνα-

www.tezaurliturgic.ro

τον· ὅθεν πρός ζωήν τήν ἀγήρω, καί τήν ἐπουράνιον μάνδραν, ἐν ἀγαλλιάσει ἐσκηνώσατε.

*Ἕτερα. Ἦχος δ'. Ὡς γενναῖον ἐν Μάρτυσι.*

**Τήν τοῦ κόσμου** τερπνότητα, νουνεχῶς ἀρνησάμενοι, τῆς σαρκός τό φρόνημα ἐνεκρώσατε, ἀσκητικοῖς ἀγωνίσμασι, Πατέρες μακάριοι, καί Μαρτύρων κοινωνοί, τῇ ἐκχύσει τοῦ αἵματος, ἀνεδείχθητε· διά τοῦτο ὑμῶν τήν θείαν μνήμην, ἑορτάζοντες ὑμνοῦμεν, ὑμῶν τά θεῖα παλαίσματα.

**Τῶν βαρβάρων** τήν ἔφοδον, οὐδαμῶς ἐπτοήθητε, ἄνωθεν δεχόμενοι θείαν δύναμιν, καί ὁμοφρόνως ἐδέξασθε, τόν βίαιον θάνατον, ἰταμότητι πολλῇ, θεοφόροι μακάριοι, καί ἀνήλθετε, πρός τάς ἄνω σκηνώσεις νικηφόροι, Ἀθλητῶν τε καί Ὁσίων, λελαμπρυσμένοι ταῖς χάρισιν.

**Ὥσπερ** θύματα ἄμωμα, τῷ Χριστῷ προσηνέχθητε, ὑποστάντες θάνατον βιαιότατον, χερσί βαρβάρων μακάριοι, καί χάριν παρέχετε, τοῖς τιμῶσιν εὐλαβῶς, τήν σεπτήν ὑμῶν ἄθλησιν, καί τά λείψανα, προσκυνοῦσιν ἐν πίστει θεοφόροι, ἅ πλουτεῖ ἡ σεπτή Λαύρα, Σάββα τοῦ θείου Πατρός ἡμῶν.

*Δόξα. Ἦχος πλ. β'.*

**Τοῦ Σωτῆρος** τῷ ζυγῷ, ὑποσχόντες τόν αὐχένα, πάντα τά ἐν κόσμῳ ἀπώσασθε, οὐρανόφρονι ψυχῇ, Πατέρες Ὅσιοι· ἐν μιᾷ γάρ γνώμῃ τόν θεῖον ἀγῶνα εἵλεσθε, καί προθύμῳ καρδίᾳ, τόν τῆς ἀσκήσεως δρόμον ἠνύσατε· καί ἐπελθόντων βαρβάρων, ἐνεγκόντες τήν φοράν, ἀνηκέστοις πληγαῖς, καί βιαίῳ θανάτῳ, ὡς χρυσός ἐν καμίνῳ ἐδοκιμάσθητε· διό Χριστός ὁ Κύριος, τήν προσφοράν ὑμῶν δεξάμενος,

www.tezaurliturgic.ro


διπλοῖς βραβείοις ὑμᾶς ἠμείψατο. Καί νῦν αὐτῷ πρεσβεύετε, ὡς Ὅσιοι καί Μάρτυρες, παρρησίαν πλουτοῦντες, ἐλεηθῆναι τάς ψυχάς ἡμῶν.

*Καί νῦν. Τῆς Ἑορτῆς.*

Εἴσοδος, Φῶς ἱλαρόν, τό Προκείμενον τῆς ἡμέρας, καί τά Ἀναγνώσματα.

*Σοφίας Σολομῶντος τό Ἀνάγνωσμα.*
(Κεφ. γ'. 1)

**Δικαίων** ψυχαί ἐν χειρί Θεοῦ, καί οὐ μή ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καί ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καί ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα˙ οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καί γάρ ἐν ὄψει ἀνθρώπων ἐάν κολασθῶσιν, ἡ ἐλπίς αὐτῶν ἀθανασίας πλήρης. Καί ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται˙ ὅτι ὁ Θεός ἐπείρασεν αὐτούς, καί εὗρεν αὐτούς ἀξίους ἑαυτοῦ. Ὡς χρυσόν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καί ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καί ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καί ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καί κρατήσουσι λαῶν, καί βασιλεύσει αὐτῶν Κύριος εἰς τούς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ, συνήσουσιν ἀλήθειαν, καί οἱ πιστοί ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ˙ ὅτι χάρις καί ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καί ἐπισκοπή ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Σοφίας Σολομῶντος τό Ἀνάγνωσμα.*
(Κεφ. ε'. 15).

**Δίκαιοι** εἰς τόν αἰῶνα ζῶσι, καί ἐν Κυρίῳ ὁ μισθός αὐτῶν, καί ἡ φροντίς αὐτῶν παρά Ὑψίστῳ. Διά τοῦτο λήψονται τό βασίλειον τῆς εὐπρεπείας καί τό

www.tezaurliturgic.ro



διάδημα τοῦ κάλλους ἐκ χειρός Κυρίου˙ ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καί τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν, τόν ζῆλον αὐτοῦ, καί ὁπλοποιήσει τήν κτίσιν, εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην˙ καί περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα˙ ὀξυνεῖ δέ ἀπότομον ὀργήν εἰς ρομφαίαν˙ συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπί τούς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καί ὡς ἀπό εὐκύκλου τόξου τῶν νεφῶν, ἐπί σκοπόν ἁλοῦνται, καί ἐκ πετροβόλου θυμοῦ, πλήρεις ριφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοί δέ συγκλύσουσιν ἀποτόμως˙ ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καί ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς˙ καί ἐρημώσει πᾶσαν τήν γῆν ἀνομία, καί ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, Βασιλεῖς, καί σύνετε˙ μάθετε δικασταί περάτων γῆς˙ ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καί γεγαυρωμένοι ἐπί ὄχλοις ἐθνῶν˙ ὅτι ἐδόθη παρά Κυρίου ἡ κράτησις ὑμῖν, καί ἡ δυναστεία παρά Ὑψίστου.

*Σοφίας Σολομῶντος τό Ἀνάγνωσμα.*

(Κεφ. δ'. 7).

**Δίκαιος,** ἐάν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γάρ τίμιον οὐ τό πολυχρόνιον, οὐδέ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιά δέ ἐστι φρόνησις ἀνθρώποις, καί ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, καί ζῶν μεταξύ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη μή κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἤ δόλος ἀπατήσῃ ψυχήν αὐτοῦ. Βασκανία γάρ φαυλότητος ἀμαυροῖ τά καλά, καί ρεμβασμός ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθείς ἐν ὀλίγῳ ἐπλήρω-

www.tezaurliturgic.ro


σε χρόνους μακρούς˙ ἀρεστή γάρ ἦν Κυρίῳ ἡ ψυχή αὐτοῦ˙ διά τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δέ λαοί ἰδόντες, καί μή νοήσαντες, μηδέ θέντες ἐπί διανοίᾳ τό τοιοῦτον˙ ὅτι χάρις καί ἔλεος ἐν τοῖς Ὁσίοις αὐτοῦ, καί ἐπισκοπή ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ ΙΔΙΟΜΕΛΑ

*Ἦχος α'.*

**Εὐφραίνου** ἐν Κυρίῳ, ἡ τοῦ ἡγιασμένου Σάββα Λαύρα, ἐν κόλποις κατέχουσα, πληθύν Ὁσίων Πατέρων˙ τούτους γάρ ἀνέδειξας, τελείους ἄνδρας τῷ Χριστῷ, δι' ἀρετῶν ὁσίων, καί τῇ προθύμῳ ἐκχύσει, τοῦ οἰκείου αἵματος˙ τῇ τῶν βαρβάρων γάρ ἀπηνείᾳ, ὡς ἱερεῖα λογικά, τῷ Σωτῆρι προσήχθησαν, ὡς ἄρνες σφαγιασθέντες˙ καί νῦν Ἀγγέλοις συνόντες, ἀπαύστως πρεσβεύουσι, διδόναι ἡμῖν πταισμάτων ἄφεσιν, καί τό θεῖον ἔλεος.

*Ἦχος β'.*

**Τήν τῶν Ὁσίων** ὑπέρτιμον χορείαν, οἷα θεράποντες Χριστοῦ θεοειδεῖς, καί ἀρετῶν δένδρα κατάκαρπα, ᾀσματικῶς εὐφημήσωμεν˙ μιᾷ γάρ γνώμῃ ἠγωνίσαντο, ἐν ἐγκρατείᾳ πολλῇ, καί πολιτείας καθαρότητι, καί συντονίᾳ θείων ἔργων˙ ἔνθεν ὁμοφρόνως διήνυσαν, τό τῆς ἀθλήσεως στάδιον, τυραννικήν μανίαν μή καταπτήξαντες˙ καί ποικίλοις τρόποις θανατούμενοι, τῷ Σωτῆρι ἐβόων˙ Δέξαι Κύριε τάς ψυχάς ἡμῶν˙ ὅτι τῇ ἀγάπῃ σου Λόγε, ὡς πρόβατα σφαγῆς ἐλογίσθημεν˙ κατασκηνώσωμεν οὖν Δέσποτα, ἐν τῷ φωτί τοῦ προσώπου σου.

www.tezaurliturgic.ro



*Ἦχος γ'.*

**Τῷ ἀρότρῳ** τῶν ἀρετῶν, τήν τῆς ψυχῆς γεωργοῦντες ἄρουραν, πολύν καρπόν Χριστῷ ἠνέγκατε, Θεοφόροι Πατέρες μακάριοι˙ ἔξω κόσμου καί σαρκός γάρ πολιτευόμενοι, τῶν ὑπέρ δωρεῶν ἠξιώθητε, σῶμα καί ψυχήν τῆς προσύλου σχέσεως ἐκκαθάραντες˙ καί μαρτυρικῷ τέλει, τήν κεκρυμμένην ἐν ὑμῖν λαμπρότητα, ὑπέρ ἥλιον λάμπουσαν, πᾶσιν ἐδείξατε. Ἀλλ' ὦ στερροί Ὁσιομάρτυρες, θύματα Χριστοῦ λογικά, μή παύσησθε πρεσβεύοντες, ὑπέρ τῶν ψυχῶν ἡμῶν.

*Ἦχος δ'.*

**Ἀγγελικῆς** πολιτείας τόν δίαυλον, ἐν ὁμοφροσύνῃ ἀνύοντες, ἀθλητικοῖς πόνοις τήν ζωήν ἐσφραγίσατε, Ὁσιομάρτυρες Χριστοῦ˙ ἐν ἀγάπῃ γάρ συνδούμενοι, τήν ἑνότητα τῆς ψυχῆς ἀδιάρρηκτον ἐτηρήσατε, αἰκιζόμενοι πικρῶς, καί ἀνηλεῶς στρεβλούμενοι καί θανατούμενοι˙ καί τοῦ ἀοράτου ἐχθροῦ συντρίψαντες τό κέρας, τῶν αἰωνίων ἀγαθῶν ἠξιώθητε. Αὐτῶν καί ἡμεῖς μετασχοίημεν, οἱ τελοῦντες τήν μνήμην ὑμῶν, λιταῖς ὑμῶν δεόμεθα.

*Δόξα. Ὁ αὐτός.*

**Τῶν ἀρετῶν** τήν στολήν ,οἰκείοις αἵμασιν ἐπορφυρώσατε, ὑπέρ Χριστοῦ νομίμως ἀθλήσαντες, Ἅγιοι Ὁσιομάρτυρες˙ καί στολισάμενοι αὐτήν, τοῦ παλαμναίου ἐχθροῦ τήν ἀπάτην ἀπεγυμνώσατε, καί τῷ νυμφῶνι τῆς ἄνω ζωῆς, λαμπαδηφόροι ἐχωρήσατε. Ἀλλ' ὡς τῷ ἀΰλῳ φωτί λαμπόμενοι, καί μεθέξει θεούμενοι, ἀπαύστως ἱλεοῦσθε τόν ἐλεήμονα

www.tezaurliturgic.ro



Κύριον, τοῖς πόθῳ ὑμᾶς μέλπουσι, Πατέρες παναοίδιμοι.

*Καί νῦν. Τῆς Ἑορτῆς.*

## ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ ΣΤΙΧΗΡΑ ΠΡΟΣΟΜΟΙΑ

*Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.*

**Χαίροις** ὁ τῶν Ὁσίων χορός, τῆς ἰσαγγέλου πολιτείας κειμήλια· ἀγάπης θείας ταμεῖα, τῆς ἐγκρατείας πυρσοί, ταπεινοφροσύνης καταγώγια· τοῦ κόσμου γάρ Ἅγιοι, τά τερπνά καταλείψαντες, ὅλον τόν πόθον, πρός Χριστόν δέ ὑψώσαντες, θείας χάριτος, ἀνεδείχθητε ὄργανα. Ὅθεν καί ἐναθλήσαντες, ἀνδρείῳ φρονήματι, τόν καθ᾽ ὑμῶν ἐπελθόντα, δόλιον ὄφιν καθείλετε. Καί νῦν δυσωπεῖτε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τό μέγα ἔλεος.

*Στίχ: Τίμιος ἐναντίον Κυρίου.* ὁ θάνατος τῶν Ὁσίων αὐτοῦ

**Χαῖροις** ὁ τῶν Ὁσίων χορός· οἱ ἐκ νεότητος σαὐτούς ἀναθέμενοι, τῷ πάντων Θεῷ καί Κτίστῃ, καί ἀνενδότῳ ψυχῇ, ἐντολάς τάς θείας ἐκπληρώσαντες· συντόνῳ νηστείᾳ γάρ, καί παννύχοις ἐν στάσεσι, ἐκ παντός ῥύπου, τήν ψυχήν καί διάνοιαν, ἐκκαθάραντες, ἐνεργείᾳ τῆς χάριτος, ἄγγελοι μετά σώματος, ἐν γῇ καθωράθητε, καί ταπεινοί τῇ καρδίᾳ, καί πλήρεις θείας πραότητος, αἰτούμενοι πᾶσιν, ἱλασμόν καί σωτηρίαν, καί θεῖον ἔλεος.

*Στίχ: Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου,* ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν, ἐξανθήσει.

**Χαίροις** ὁ τῶν Ὁσίων χορός, οἱ δι᾽ ἀσκήσεως καί πόνων ἀθλήσεως, τήν δύναμιν τῆς τελείας, πρός

www.tezaurliturgic.ro



τόν Σωτῆρα Χριστόν, καί στερρᾶς ἀγάπης, πᾶσι δείξαντες· ἐντεῦθεν ἰσότιμοι, τῶν Ὁσίων ἐδείχθητε, καί τῶν Μαρτύρων, ἀληθῶς ἰσοστάσιοι, ἀξιούμενοι, ἀπορρήτου λαμπρότητος. Ὅθεν ὑμῶν τά λείψανα, ἡ Λαύρα κατέχουσα, τοῦ θείου Σάββα γεραίρει, ὑμῶν τήν μνήμην μακάριοι. Αὐτῇ καί ἡμῖν τε, ἐξαιτεῖσθε οὐρανόθεν, τό μέγα ἔλεος.

*Δόξα. Ἦχος πλ. δ'.*

**Τῶν αἱμάτων** τήν πρόσχυσιν, ἀσκητικοῖς κεράσαντες ἱδρῶσιν, ὡς μύρον πολύτιμον, Χριστῷ προσενηνόχατε· τῶν ἀοράτων γάρ ἐχθρῶν, καί ὁρατῶν τάς ὁρμάς, μηδόλως πτήξαντες, νομίμως κατ' αὐτῶν ἠγωνίσασθε, Ὁσιομάρτυρες παμμακάριστοι· καί βιαίῳ θανάτῳ, τήν ἀθάνατον ζωήν ὠνησάμενοι, τῶν αἰωνίων ἀγαθῶν κληρονόμοι γεγόνατε. Καί νῦν, Ἀγγέλοις συνόντες, μή παύσητε πρεσβεύοντες, ὑπέρ τῶν ψυχῶν ἡμῶν.

*Καί νῦν. Τῆς Ἑορτῆς.*

*Νῦν ἀπολύεις, τό τρισάγιον, καί τό Ἀπολυτίκιον.*

*Ἦχος α'. Τοῦ λίθου σφραγισθέντος.*

**Χωρῶν** ἐκ διαφόρων ὡρμημένοι προσήλθετε, Σάββα τοῦ Ὁσίου τῇ Λαύρᾳ καί ὁσίως βιώσαντες, ὑπέστητε βαρβάρων τήν ὁρμήν, καί ὤφθητε Μαρτύρων κοινωνοί· διά τοῦτο εὐφημοῦμεν ᾀσματικῶς, ὑμᾶς Ὁσιομάρτυρες. Δόξα τῷ ἐνισχύσαντι ὑμᾶς, δόξα τῷ στεφανώσαντι, δόξα τῷ δωρουμένῳ δι' ὑμῶν, ἡμῖν πταισμάτων ἄφεσιν.

www.tezaurliturgic.ro



*Ἕτερον. Ἦχος δ'. Ταχύ προκατάλαβε.*

**Ζωήν** τήν ἰσάγγελον, ἐν θεολήπτῳ ψυχῇ, ἐν Λαύρᾳ ἠνύσατε, τοῦ Σάββα τοῦ θαυμαστοῦ, Πατέρες μακάριοι· ξίφει δέ ἐκτμηθέντες, ταῖς χερσί τῶν βαρβάρων, δόξης ἀκαταλύτου, ἠξιώθητε ἅμα, πρεσβεύοντες τῷ Κυρίῳ, ὑπέρ τῶν ψυχῶν ἡμῶν.

*Καί τό τῆς Ἑορτῆς.*

*Ἀ π ό λ υ σ ι ς.*

MAR SABA MONASTERY מנזר מר סבא



www.tezaurliturgic.ro

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

*Μετά τήν α'. Στιχολογίαν, Κάθισμα.*
*Ἦχος α'. Τόν τάφον σου Σωτήρ.*

**Ὡς θύματα** δεκτά, θεοφόροι Πατέρες, προσήχθητε Χριστῷ, ταῖς χερσί τῶν ἀνόμων, τεμνόμενοι στρεβλούμενοι, καί πικρῶς θανατούμενοι· ὅθεν εὕρατε, τάς ἀμοιβάς τῶν καμάτων, ἱκετεύοντες, ὑπέρ ἡμῶν τῶν τιμώντων, ὑμᾶς θείοις ᾄσμασι.

*Καί τό τῆς Ἑορτῆς.*
*Μετά τήν β'. Στιχολογίαν, Κάθισμα.*
*Ἦχος δ'. Ὁ ὑψωθείς ἐν τῷ Σταυρῷ.*

**Ἐν τῇ Μονῇ** ἐκ διαφόρων πατρίδων, τοῦ θεοφόρου ἐληλύθατε Σάββα, ὡς τετρωμένοι τοῦ Χριστοῦ τῷ ἔρωτι, καί ἐν ταύτῃ ἄσαρκον, διανύσαντες βίον, μαρτυρίου στέφανον, ἐκομίσασθε ὄντως, ὑπ᾽ ἀσεβῶν ἀνθρώπων κεφαλάς, ἀποτμηθέντες, Πατέρες θεοφόροι.

*Καί τό τῆς Ἑορτῆς.*
*Μετά τόν Πολυέλεον Κάθισμα.*
*Ἦχος πλ. δ'. Τήν Σοφίαν καί Λόγον.*

**Ἀρετῶν** διαλάμποντες τῷ φωτί, τῶν βαρβάρων ὑπέστητε τήν ὁρμήν, ἀνδρείῳ φρονήματι, τῶν ἐ-

www.tezaurliturgic.ro



χθρῶν τά φρυάγματα, εἰς γῆν καταβαλόντες, δυνάμει τοῦ Πνεύματος, ὡς ξένοι τῶν ἐν κόσμῳ, καί πάροικοι Ὅσιοι. Ὅθεν οὐρανίων, δωρεῶν μετασχόντες, Ἀγγέλων συνόμιλοι, ἀληθῶς ἀνεδείχθητε, θεοφόροι μακάριοι. Πρεσβεύσατε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς μακαρίζουσι πόθῳ, ὑμῶν τά παλαίσματα.

*Καί τό τῆς Ἑορτῆς.*

*Τό α'. Ἀντίφωνον τοῦ δ'. ἤχου, καί τό Προκείμενον.*

*Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τῶν Ὁσίων αὐτοῦ.*

*Στίχ: Καυχήσονται Ὅσιοι ἐν δόξῃ.* καί ἀγαλλιάσονται ἐπί τῶν κοιτῶν αὐτῶν.

**Εὐαγγέλιον** κατά Ματθαῖον: Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς. Πάντα μοι παρεδόθη... Ζήτει τῇ ε'. Δεκεμβρίου, τοῦ Ἁγίου Σάββα.

*Ὁ Ν' Ψαλμός.*

*Δόξα. Ταῖς τῶν σῶν Ὁσίων...*

*Καί νῦν. Ταῖς τῆς Θεοτόκου...*

*Ἰδιόμελον. Ἦχος πλ. β'.*

Στίχ: Ἐλέησόν με ὁ Θεός...

**Ἀσκητικῆς** ζωῆς κομῶντες τοῖς καρποῖς, ἀθλητικήν ἀνδρείαν ἐπεδείξασθε, ἐν τῇ ἐπιδρομῇ τῶν ἀτιθάσων ἀνδρῶν, Πατέρες παμμακάριστοι· παρ' ὧν ἀνηλεῶς συγκοπτόμενοι, καί οἰκείοις αἵμασι περιρρεόμενοι, ὡς ἱερεῖα ὁλόκληρα, καί προσφοραί λογικαί, Κυρίῳ προσήχθητε. Καί νῦν ἐν Ἐκκλησίᾳ τῶν πρωτοτόκων αὐλιζόμενοι, καί τό ἀμήχανον κάλλος Χριστοῦ ὁρῶντες, πρεσβεύετε ὑπέρ τῶν ψυχῶν ἡμῶν.

www.tezaurliturgic.ro



*Ὁ Ἱερεύς: Σῶσον ὁ Θεός τόν λαόν σου...*

Εἶτα οἱ Κανόνες, τῆς Ἑορτῆς ἤ τοῦ Πάσχα, καί τῶν Ἁγίων οὗ ἡ ἀκροστιχίς.

*«Τούς θεοφόρους ὑμνῶ Ἀββάδας. Γερασίμου».*

*Ὠδή α'. Ἦχος α'. Σοῦ ἡ τροπαιοῦχος δεξιά.*

Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπὲρ ἡμῶν

**Τάξεσι** συνόντες νοεροῖς, τῶν Ἀσωμάτων δυνάμεων Ὅσιοι, σύν αὐτοῖς πρεσβεύσατε, δοῦναι ἡμῖν θείαν ἔλλαμψιν ἄνωθεν, καί λόγον σοφίας, ὑμῶν ὑμνῆσαι τήν ἄθλησιν. Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπὲρ ἡμῶν

**Ὅλῃ** διανοίᾳ καί ψυχῇ, τά ἐν τῷ κόσμῳ τερπνά ἀρνησάμενοι, τοῦ Χριστοῦ τοῖς ἴχνεσιν, ἠκολουθήσατε βίου λαμπρότητι, Ὅσιοι Πατέρες, τελειωθέντες δι' αἵματος.

Δόξα

**Ὕψει** ἐναρέτων ἀγωγῆς, καί ἀπαθείας ἐμπρέποντες Ἅγιοι, μαρτυρίου σκάμμασι, τῷ Ἀθλοθέτῃ Χριστῷ προσηνέχθητε, καί ἐπουρανίων, ἐπάθλων κατηξιώθητε.

*Θεοτοκίον.* Καὶ νῦν

**Σάρκα** ἐξ αἱμάτων σου ἁγνῶν, ὁ Ὑπερούσιος Λόγος καί Κύριος, προσλαβών Πανάχραντε, διπλοῦς ὡράθη τῷ κόσμῳ δι' ἔλεος, καί τῆς ἀρχεγόνου, ἡμᾶς κατάρας ἐρρύσατο.

*Ὠδή γ'. Ὁ μόνος εἰδώς.*

**Θεῷ** ὡς θυσίαι καθαραί, βαρβάρων ἰταμότητι, θανατωθέντες προσανηνέχθητε, καί ἀθανάτου ζωῆς τόν στέφανον, παρ' αὐτοῦ ἐδέξασθε, καί χοροῖς συνήφθητε, Ἀθλητῶν καί Ὁσίων μακάριοι.

**Ἐγκράτειαν** ἔχοντες πολλήν, καί ἄγγελοι φαινόμενοι, μετά σαρκός Πατέρες μακάριοι, ῥείθροις αἱ-

www.tezaurliturgic.ro

μάτων καθηγιάσατε, Λαύραν τήν περίφημον, Σάββα τοῦ θεόφρονος, ὑπ᾽ ἀνόμων ἀνδρῶν θανατούμενοι.

**Ὁσίως** λατρεύοντες Θεῷ, ἐν πάσῃ καθαρότητι, καί πολιτείᾳ λαμπρᾷ κοσμούμενοι, πᾶσιν αἰδέσιμοι καθωράθητε, Ἀσκηταί θεόληπτοι, καί Μαρτύρων σύσκηνοι, μετά τέλος τό ἅγιον ὤφθητε.

*Θεοτοκίον.*

**Φωτός σου** Ἁγνή μαρμαρυγαῖς, τό σκότος διασκέδασον, τό τῆς καρδίας μου ἱκετεύω σε, καί φόβῳ θείῳ τόν νοῦν μου ρύθμισον, τοῦ νοεῖν τά κρείττονα, καί ποιεῖν τό θέλημα, τοῦ Υἱοῦ καί Θεοῦ σου τό ἅγιον.

*Κάθισμα. Ἦχος δ'. Ταχύ προκατάλαβε.*

**Ὁσίως** βιώσαντες, ἐν ἐγκρατείᾳ πολλῇ, τό αἷμα ἐχέατε, ὑπέρ ἀγάπης Χριστοῦ, Πατέρες μακάριοι. Ὅθεν τοῦ θείου Σάββα, ἡ Μονή ὑμᾶς μέλπει, πίστει προσπτυσσομένη, τῶν λειψάνων τήν θήκην, ἐξ ἧς πᾶσι πηγάζει, χάρις καί ἔλεος.

*Καί τό τῆς Ἑορτῆς.*

*Ὠδή δ'. Ὄρος σε τῇ χάριτι.*

**Ὅλοι** ἐνθεώτατοι, ἀσκήσεως σκάμμασι, καί μαρτυρίου ταῖς ποιναῖς, Ὁσιομάρτυρες Χριστοῦ, σαφῶς ἀνεδείχθητε, τελειοτάτης ἀγάπης ἐκφαίνοντες, τῆς πρός τόν Κτίστην τόν ὅρον μακάριοι.

**Ρείθροις** πορφυρώσαντες, αἱμάτων θεόσοφοι, τῆς ἀφθαρσίας τήν στολήν, ὑπέρ τῆς δόξης τοῦ Χριστοῦ, τυθέντες γηθόμενοι, καί νικηφόροι πρός θεῖα σκηνώματα, τῆς βασιλείας τῆς ἄνω ἀνήλθετε.

**Ὅμιλος** θεόλεκτος, χορεία ὑπέρτιμος, καί συ-

www.tezaurliturgic.ro



στοιχία θαυμαστή, ὡράθητε ὡς ἀληθῶς, Πατέρες μακάριοι, ἀσκητικῇ πολιτείᾳ λαμπόμενοι, καί μαρτυρίου τοῖς θείοις παλαίσμασιν.

**Ὕμνοις** μακαρίσωμεν, ἐνθέοις γηθόμενοι, τούς θεοφόρους Ἀσκητάς, τούς ἐν τῇ Λαύρᾳ τῇ σεπτῇ, Σάββα τοῦ παμμάκαρος, ἀναιρεθέντας ἀνδρείῳ φρονήματι, ὡς πρεσβευτάς ἡμῶν θείους πρός Κύριον.

*Θεοτοκίον.*

**Σῶσόν με** πανάμωμε, τόν δείλαιον δέομαι, καί συνηθείας πονηρᾶς, πρός ψυχοφθόρους ἡδονάς, ταχύ με ἀπάλλαξον, καί μετανοίας παράσχου μοι δάκρυα, ὅπως ἐκπλύνω παθῶν μου τόν βόρβορον.

*ᾨδή ε΄. Ὁ φωτίσας τῇ ἐλλάμψει.*

**Ὑπελθόντες** θεοφρόνως τῶν Μαρτύρων τό στάδιον, ἐνεκρώσατε εἰς τέλος τήν ὀφρύν τοῦ ἀλάστορος, Ὅσιοι Πατέρες θαυμαστοί, πικρῶς θανατωθέντες, διά τήν πάντων Ἀνάστασιν.

**Μονασταί** πνευματοφόροι, ἀληθῶς ἀνεδείχθητε, ἰσαγγέλῳ πολιτείᾳ καί νοός καθαρότητι, καί τῶν Ἀθλοφόρων κοινωνοί, γεγόνατε Πατέρες, καρτερικῶς ἐναθλήσαντες.

**Νεκρωθέντες** πολυτρόποις αἰκισμοῖς διά Κύριον, ἰταμότητι βαρβάρων πρός ζωήν τήν αἰώνιον, ἤρθητε Πατέρες ἱεροί, φωτός ὑπερκοσμίου, καί θείας δόξης πληρούμενοι.

*Θεοτοκίον.*

**Ὡς τεκοῦσα** τόν τῶν ὅλων Θεόν ὑπέρ ἔννοιαν, καί παρθένος ὡς πρό τόκου διαμείνασα ἄφθορος, ἐκ

www.tezaurliturgic.ro



παθῶν Ἁγνή φθοροποιῶν, ἐκκάθαρον τόν νοῦν μου, καί ἀπό πάσης φαυλότητος.

*Ὠδή στ'. Ἐκύκλωσεν ἡμᾶς.*

**Ἀγγέλων** ἰσοστάσιοι γεγόνατε, καί τῶν Μαρτύρων σύσκηνοι, ὡς ἰσάγγελοι βιώσαντες ἐν γῇ, καί μαρτυρικῶς ἀγωνισάμενοι, πόθῳ Χριστοῦ, Ὁσιομάρτυρες παναοίδιμοι.

**Βαδίσαντες** τήν τεθλιμμένην Ὅσιοι, ὁδόν θείῳ φρονήματι, δι᾽ ἀσκήσεως μέν πρῴην καρτερᾶς, εἶτα τῇ ἐκχύσει τῇ τοῦ αἵματος, πρός τήν χαράν τήν ὑπερκόσμιον ἀνεδράμετε.

**Βλαστούς** ὡς ἀειζώους ὑμᾶς ἤνθησεν, οἷα λειμών μυρίπνοος, τῆς ἀσκήσεως ἡ Λαύρα, ἡ σεπτή, Σάββα τοῦ Ὁσίου καί τήν ἄθλησιν, ὑμῶν ὑμνεῖ, Ὁσιομάρτυρες παμμακάριστοι.

*Θεοτοκίον.*

**Ἀγγέλων** ἀσυγκρίτως ὑπερέχουσα, ἐδείχθης Ἀειπάρθενε, ὡς τεκοῦσα τόν Δεσπότην τοῦ παντός· ὅθεν δεσποτείας με ἀπάλλαξον, τῆς τῶν παθῶν, τῇ συμπαθῇ σου Κόρη χρηστότητι.

*Κοντάκιον. Ἦχος β'. Τούς ἀσφαλεῖς.*

**Ὡς ἀσκητάς** καί ἀρετῶν κειμήλια, καί κοινωνούς μαρτυρικῆς λαμπρότητος, ὑμᾶς πάντας μακαρίζομεν, θεοειδεῖς Ὁσιομάρτυρες· βαρβάρων ταῖς χερσί γάρ ὡς τεθνήξαντες, ζωῆς τῆς ἀθανάτου ἠξιώθητε, αἰτούμενοι πᾶσι θείαν ἄφεσιν.

*Ὁ Οἶκος.*

**Διαφόρων** ἐκ πατρίδων ὡρμημένοι, ἐν προθυμίᾳ

www.tezaurliturgic.ro



πολλῇ καί θεολήπτῳ καρδίᾳ, πρός τήν ἁγίαν Μάνδραν, τοῦ Ἡγιασμένου Σάββα προσήλθετε, τόν τοῦ Χριστοῦ ζυγόν ἀράμενοι, καί ἑαυτούς ἀρνησάμενοι· ἐν αὐτῇ γάρ ἀσκητικοῖς ἀγῶσιν εὐδοκομήσαντες, σκεύη πολύτιμα τῆς ἐνεργείας τοῦ Ἁγίου Πνεύματος ὤφθητε· καί βαρβαρικῆς ἐπιδρομῆς ὑποστάντες τήν ἔφοδον, βιαιοτάτως ἐθάνετε, ξίφεσι καί ροπάλοις καί πληγαῖς συγκοπτόμενοι, Ὁσιομάρτυρες ἀοίδιμοι· καί μαρτυρικῆς ἐπιβάντες εὐκλείας, τῶν ὑπέρ λόγον ἀγαθῶν ἠξιώθητε, αἰτούμενοι πᾶσι θείαν ἄφεσιν.

*Συναξάριον.*

**Τῇ ιστ'. τοῦ αὐτοῦ μηνός μνήμη τῶν Ὁσίων καί θεοφόρων Πατέρων τῶν ἐν τῇ Μονῇ τοῦ Ἁγίου Σάββα ὑπό τῶν Βλεμμύων ξίφει τελειωθέντων.**

*Στίχ: Σοῦ Σῶτερ ἄρνας ὡς ὀδοῦσι ταῖς σπάθαις*
*Μάνδρας ἔσω κτείνουσι εἰσδύντες λύκοι.*
*Δεκάτῃ ἕκτῃ θεολήπτους ἀνέρας ξίφεσι τάμον.*

**Οὗτοι** οἱ μακάριοι ἐκ διαφόρων χωρῶν καί πατρίδων ὡρμώμενοι, τῇ Ἁγίᾳ Λαύρᾳ τοῦ Ἡγιασμένου Σάββα προσῆλθον κατά καιρούς, τόν Σταυρόν τοῦ Κυρίου ἀράμενοι, καί τήν ἀσκήσει ὁσίαν ἀρετήν, συντόνῳ ἐγκρατείᾳ καί πόνοις ἐργαζόμενοι· ἐπί τοσοῦτον δέ ἤλασαν τελειότητος, ὥστε ἄγγελοι ἐν σαρκί ὡρῶντο, καί τῇ ζωῇ καί τῇ μορφῇ καί τοῖς τρόποις· ὅθεν καί τοιοῦτον τέλος ἀπηνέγκαντο, καί τό βραβεῖον τῆς νίκης ἐκομίσαντο.

**Ἐπελθόντων** γάρ τῶν Ἰσμαηλιτῶν τῇ ἁγίᾳ Λαύρᾳ, καί πάντα τά ἱερά σκεύη τῆς Ἐκκλησίας διαρπασάντων, πρό μιᾶς ἑβδομάδος τοῦ παραληφθῆναι τήν ἁγίαν πόλιν, τό μέν πλῆθος τῶν Πατέρων ὑπανεχώ-

www.tezaurliturgic.ro



ρησεν, ἀπέμειναν δέ οἱ καρτερικοί δοῦλοι τοῦ Χριστοῦ ἐν τῇ Λαύρᾳ, οἱ μή βουλόμενοι καταλιπεῖν τόν τόπον. Οἱ δέ βάρβαροι συλλαβόμενοι αὐτούς, καί ἀνηλεῶς ἐπί πολλάς ἡμέρας βασανίζοντες, οἰόμενοι χρήματα εὑρίσκειν, παρ᾽ οἷς μηδέν τοῦ αἰῶνος τούτου ὑπῆρχεν, τέλος τοῦ σκοποῦ ἐκπεσόντες, ἐμμανεῖς γενόμενοι, πάντας μεληδόν κατέτεμνον. Οἱ δέ μακάριοι γεγηθότες, φαιδρῷ τῷ προσώπῳ εὐχαρίστως τάς ψυχάς τῷ Κυρίῳ ἀπέδωκαν, ὡς ἐκ πολλοῦ τήν ἐπιθυμίαν ἔχοντες, ἀναλῦσαι καί σύν Χριστῷ εἶναι. Ριφέντων δέ τῶν σωμάτων αὐτῶν ἐπί πολλάς ἡμέρας ἀτάφων, ἦλθον τινές ἐκ τῶν ἀδελφῶν, καί ταφῇ ὁσίᾳ παρέδωκαν αὐτά, μακαρίζοντες τῶν Ὁσίων Ἀββάδων τήν μακαρίαν καί μαρτυρικήν τελείωσιν.

***Ταῖς αὐτῶν πρεσβείαις Χριστέ ὁ Θεός ἐλέησον καί σῶσον ἡμᾶς. Ἀμήν.***

*Ὠδή ζ'. Σέ νοητήν.*

**Διά Χριστόν**, παντί τῷ κόσμῳ σεαυτούς, σταυρώσαντες ὡς ἀληθῶς, ὑπεμείνατε καρτερῶς, θάνατον ἐπώδυνον, ξίφεσι κοπτόμενοι, καί ἀνυμνοῦντες μακάριοι, τόν αἰνετόν τῶν Πατέρων, Θεόν καί ὑπερένδοξον.

**Ἀσκητικοῖς**, ἱδρῶσι καί δάκρυσι, τούς τῶν αἱμάτων ὀχετούς, συγκεράσαντες τῷ Χριστῷ, τούτους προσηγάγετε, μύρον ὡς πολύτιμον, Ὁσιομάρτυρες ἔνδοξοι, τόν αἰνετόν ἀνυμνοῦντες, Θεόν καί ὑπερένδοξον.

**Σάρκα** πολλοῖς, πόνοις τῆς ἀσκήσεως, καθαγιάσαντες σαφῶς, οἷα νύμφην θεοειδῆ, ξίφει ὡς ἐτμήθητε, τήν ψυχήν προσήξατε, τῷ Παντοκράτορι Ὅσιοι, καί τῆς ζωῆς τῷ νυμφῶνι, περιχαρῶς εἰσήλθετε.

www.tezaurliturgic.ro



*Θεοτοκίον.*

**Γένος** βροτῶν, τῷ σῷ τόκῳ λέλυται, τῆς καταδίκης τοῦ Ἀδάμ· σύ γάρ τέτοκας τόν Χριστόν, ὑπέρ πᾶσαν ἔννοιαν, ἅπασι παρέχοντα, τήν εὐλογίαν καί λύτρωσιν, τοῖς ἀνυμνοῦσι Παρθένε, τό μέγα σου μυστήριον.

*Ὠδή η'. Ὅν φρίττουσιν Ἄγγελοι.*

**Ἐπῆλθον** μαινόμενοι, ὡς λύκοι καθ' ὑμῶν, βαρβάρων τό σύστημα, καί πόνοις καί πληγαῖς, ὑμᾶς θανατοῦντες, ἀνέδειξαν Χριστοῦ, μάρτυρας νικηφόρους, Πατέρες θεοφόροι.

**Ραντίσματι** Ἅγιοι, αἱμάτων ἱερῶν, σαὐτούς προσηγάγετε, ὡς θύματα Χριστῷ, καί τῇ καταθέσει, τῶν λειψάνων ὑμῶν, ἡμῖν χορηγεῖτε, ἁγιασμόν καί ρῶσιν.

**Ἀγγέλων** συνόμιλοι, Ὁσίων κοινωνοί, Μαρτύρων συμμέτοχοι, ὡς Μάρτυρες Χριστοῦ, σαφῶς γεγονότες, δυσωπεῖτε αὐτόν, δοῦναι ἡμῖν λύσιν, πταισμάτων θεοφόροι.

*Θεοτοκίον.*

**Σκηνή** θεοχώρητε, καί ἔμψυχε ναέ, τοῦ πάντων δεσπόζοντος, Παρθένε Μαριάμ, δοχεῖόν με δεῖξον, ἐννοιῶν ἀγαθῶν, ρύπου ἁμαρτίας, καθαίρουσα τόν νοῦν μου.

*Ὠδή θ'. Τήν ζωοδόχον Πηγήν.*

**Ἰλύν** παθῶν ὁλικῶς ἐκτινάξαντες, πρός ἀπαθείας τό ὕψος ἀνήλθετε, καί Μαρτύρων στέμμασι, κοσμηθέντες Ὅσιοι, μιαιφονίᾳ ἀνδρῶν τῶν ὠμοτάτων, τῆς αἰωνίου ζωῆς ἠξιώθητε.

www.tezaurliturgic.ro



**Μαρτυρικῶς** τόν ἀγῶνα ἠνύσατε, σφαγιασθέντες ὡς ἄρνες μακάριοι, καί τῆς ἄνω λήξεως, χαίροντες ἐπέβητε, ὑπέρ ἡμῶν δυσωποῦντες τόν Σωτῆρα, τῶν ἐκτελούντων ὑμῶν τήν πανήγυριν.

**Οἱ τῶν Ὁσίων** τόν δρόμον τελέσαντες, καί τῶν Μαρτύρων τό τέλος δεξάμενοι, Ὅσιοι καί Μάρτυρες, θεῖα καλλωπίσματα, Μονῆς τῆς θείας τοῦ θεοφόρου Σάββα, ἡμῖν αἰτεῖτε πταισμάτων συγχώρησιν.

*Θεοτοκίον.*

**Ὑπεραγία** Παρθένε Πανύμνητε, ἡ τόν Πανάγιον Λόγον κυήσασα, σάρκα χρηματίσαντα, ἐξ ἁγνῶν αἱμάτων σου, τά τῆς σαρκός καί ψυχῆς μου ἴασαι πάθη, καί τῷ φωτί σου τόν νοῦν μου καταύγασον.

*Ἐξαποστειλάριον: Γυναῖκες ἀκουτίσθητε.*

**Χορεία** θεοσύλλεκτε, στερροί Ὁσιομάρτυρες, οἱ τοῦ ἐχθροῦ τήν μανίαν, γνώμῃ στερρᾷ καθελόντες, καί αἵμασι πτερώσαντες, φρονεῖν ἡμᾶς τά κρείττονα, Χριστῷ ἀεί πρεσβεύετε, ὑπέρ ἡμῶν τῶν τελούντων, τήν ἱεράν ὑμῶν μνήμην.

*Καί τό τῆς Ἑορτῆς.*

## ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

*Ἱστῶμεν στίχους δ'. καί ψάλλομεν τά ἑξῆς Προσόμοια.*

*Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.*

**Τῶν θεοφόρων** Ἀββάδων τήν ἱεράν ἑορτήν, τῶν ἐν τῇ θείᾳ Μάνδρᾳ, τοῦ παμμάκαρος Σάββα, πικρῶς

www.tezaurliturgic.ro



ἀποκτανθέντων ὑπέρ Χριστοῦ, ἑορτάσωμεν κράζοντες· Ὑπέρ ἡμῶν δυσωπεῖτε διά παντός, θεοφόροι παμμακάριστοι.

**Ὁμοφροσύνῃ** καρδίας Πατέρες Ὅσιοι, ἀνύοντες τόν δρόμον, ἀρετῶν τῶν Ὁσίων, ἀνδρῶν παρανομούντων ἐπιδρομήν, καρτερῶς ὑπεμείνατε, καί ἐκτμηθέντες αὐχένας πρός τήν ζωήν, τήν αἰώνιον ἐδράμετε.

**Ἀσκητικῶς** μέν τό πρῴην ἀγωνισάμενοι, τό δεύτερον ἀθλήσει, καί αἱμάτων τῇ χύσει, Πατέρες θεοφόροι πρός τόν Χριστόν, νικηφόροι ἀνήλθετε, καί κατ᾽ ἀξίαν ἐδέξασθε παρ᾽ αὐτοῦ, τῶν καμάτων τήν ἀντίδοσιν.

**Βιαιοτάτῳ** θανάτῳ ψυχῇ θεόφρονι, καί στερροτάτῃ γνώμῃ, ἱερεῖα ὡς θεῖα, προσήχθητε Κυρίῳ καί καθαρά, θεοφόροι καρπώματα, καί τῶν Μαρτύρων τοῖς δήμοις καί Ἀσκητῶν, ἠριθμήθητε γηθόμενοι.

*Δόξα. Ἦχος πλ. δ'.*

**Τῶν Ὁσίων** Πατέρων ὁ χορός, ἐκ διαφόρων πατρίδων ὁρμηθείς, ἐν Λαύρᾳ τῇ ἁγίᾳ Σάββα τοῦ Ὁσίου, ἀμέμπτῳ πολιτείᾳ ὄντως διαλάμπων, μαρτυρικῶς προσενήνεκται Κυρίῳ, τυθείς ὑπό χειρῶν ἀνδρῶν αἱμάτων· οὕς εὐφημοῦντες συμφώνως, μακαρίσωμεν λέγοντες· Ὦ θεία συναγωγή, Ἀσκηταί θεοφόροι, καί Μάρτυρες Κυρίου· δοχεῖα ὑπέρτιμα, τῆς ἐνεργείας τοῦ Πνεύματος· τῆς ἐν Χριστῷ ζωῆς θεοειδεῖς ἐργάται· τῆς ἐγκρατείας ἄνθη τά πανευώδη· τά ἔμψυχα τῆς ἀπαθείας σκεύη· Ὁσίων συνόμιλοι· Ἀθλητῶν ἰσοστάσιοι, ἐκτενῶς πρεσβεύσατε, ὑπέρ τῶν ψυχῶν ἡμῶν.

*Καί νῦν. Τῆς Ἑορτῆς ἤ τό τοῦ Πάσχα*

www.tezaurliturgic.ro

## ΔΟΞΟΛΟΓΙΑ ΜΕΓΑΛΗ ΚΑΙ ΑΠΟΛΥΣΙΣ

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

**Τά συνήθη.** Ἀπόστολον τῆς κζ′. Κυριακῆς: Ἀδελφοί, ἐνδυναμοῦσθε ἐν Κυρίῳ... Εὐαγγέλιον, κατά Λουκᾶν: Εἶπεν ὁ Κύριος˙ μή φοβοῦ τό μικρόν ποίμνιον... ζήτει τό Σαββάτῳ τῆς ια′. ἑβδομάδος Λουκᾶ.

**Κοινωνικόν:** Εἰς μνημόσυνον αἰώνιον...

*Μεγαλυνάριον.*

**Χαίροις** τῶν Ὁσίων θεία πληθύς, οἱ ἀποκτανθέντες, ὑπ᾽ ἀνόμων χειρῶν σκληρῶς˙ χαίρετε Μαρτύρων, ἰσότιμοι ἐν πᾶσι, Πατέρες θεοφόροι, ἀξιοθαύμαστοι.

Δίστιχον.

*Ἀββάδες μακάριοι ἡγιασμένοι*
*Γερασίμου δέξασθε τόνδε τόν ὕμνον.*

www.tezaurliturgic.ro

# ΧΑΙΡΕΤΙΣΜΟΙ
# ΤΩΝ ΑΓΙΩΝ ΑΒΒΑΔΩΝ

*Οἶκοι εἰκοσιτέσσαρες εἰς τούς Ὁσίους καί Θεοφόρους Ἀββάδας τούς ἐν τῇ Μονῇ τοῦ Ἁγίου Σάββα ἀναιρεθέντας.*

**Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου.**

*Κοντάκιον. Ἦχος πλ. δ'. Τῇ ὑπερμάχῳ.*

Τήν τῶν Ἀγγέλων πολιτείαν ἐκμιμούμενοι
Ὑπό βαρβάρων πολυτρόπως ἀπεκτάνθητε
Ἐν τῇ Λαύρᾳ τοῦ Ἁγίου Σάββα Πατέρες.
Ἀλλ' ὡς Ὅσιοι καί Μάρτυρες πρεσβεύετε
Πονηρῶν ἐπηρειῶν λυτροῦσθαι ἅπαντας
Τούς κραυγάζοντας, χαίροις ἅγιον σύστημα.

**Ἄγγελοι ἐν τῷ βίῳ**, καί σύναθλοι Μαρτύρων, ἐδείχθητε Ὅσιοι Ἀββᾴδες· (ἐκ γ'.) καί νῦν τοῖς τῶν Ἀγγέλων χοροῖς, συνόντες τόν Σωτῆρα ἱκετεύετε, διδόναι χάριν ἄνωθεν, τοῖς βοῶσιν ὑμῖν τοιαῦτα.

χαίρετε Ὅσιοι θεοφόροι
χαίρετε Μάρτυρες στεφηφόροι
χαίρετε χωρῶν διαφόρων βλαστήματα
χαίρετε ζωῆς ἰσαγγέλου καυχήματα

www.tezaurliturgic.ro

χαῖρε ὅμιλε θεόλεκτε θεοφόρων Ἀσκητῶν
χαῖρε σύστημα μακάριον, ἄνθη θείων ἀρετῶν
χαίρετε τῶν Ἀγγέλων ἱεροί συμπολῖται
χαίρετε θεοφόροι καί σεπτοί στεφανῖται
χαίρετε χάριτος θησαυρίσματα
χαίρετε πάντων ἡμῶν κλεΐσματα
χαίρετε θεῖοι οὐρανοπολῖται
χαίρετε τύποι ἡμῶν καί ἀλεῖπται

*χαίρετε Ἀββάδες Ὅσιοι.*

**Βίον** ἔχοντες θεῖον, ἐν Μονῇ τῇ Ἁγίᾳ, Σάββα τοῦ Ὁσίου Ἀββάδες, βαρβαρικήν ὑπέστητε ὁρμήν, καί ἀθλητικῶς Χριστῷ ἀνεδράμετε, καί σύν Ἀγγέλων τοῖς δήμοις, τῇ Τριάδι συνεκβοᾶτε˙

*Ἀλληλούϊα.*

**Γῆν** πατρῴαν λιπόντες, καί χωρῶν ἀπό πλείστων, προσήλθετε προθύμῳ καρδίᾳ, ἐν τῇ Λαύρᾳ τῇ θαυμαστῇ, τοῦ Ἡγιασμένου Σάββα μακάριοι˙ διό ὑμᾶς γεραίρομεν, Ὁσιομάρτυρες βοῶντες˙

χαίρετε τύποι τῆς ἐγκρατείας
χαίρετε στῆλαι τῆς καρτερίας
χαίρετε λιπόντες τοῦ κόσμου τά πρόσκαιρα
χαίρετε λαβόντες ἀξίως τά μόνιμα
χαῖρε δῆμε πολυσύνθετε ἐξ ἁγίων Ἀσκητῶν
χαῖρε σύλλογε ἀήττητε μακαρίων Ἀθλητῶν
χαίρετε θεοφόροι θεράποντες Κυρίου
χαίρετε καθαιρέται τοῦ ἐχθροῦ τοῦ δολίου
χαίρετε ἄνθρωποι ὑπερκόσμιοι
χαίρετε ἄσαρκοι ἐν τῷ σώματι
χαίρεται μύσται ἀρετῶν ὁσίων
χαίρετε πλήρεις δωρεῶν ἁγίων

*χαίρετε Ἀββάδες Ὅσιοι.*

www.tezaurliturgic.ro



**Δύναμιν** κεκτημένοι, τήν θείαν θεοφόροι, ἀνδρείως τάς ποικίλας στρεβλώσεις, ὑπέστητε ἐνθέῳ ψυχῇ, τῶν ἐπελθόντων βαρβάρων ἀοίδιμοι, καί σκληρῶς θανατούμενοι, τῷ Δεσπότῃ ἐβοᾶτε˙

*Ἀλληλούϊα.*

**Ἐκ χωρῶν** διαφόρων, ὡρμημένοι Πατέρες, προσήλθετε ὡς ἄρνες τῇ Μάνδρα, τοῦ θεοφόρου Σάββα πιστῶς, καί πρός τήν ἄνω μάνδραν ἐσκηνώσατε, ἀθλήσει τελειούμενοι, παρ᾿ ἡμῶν ἀκούοντες ταῦτα˙

χαίρετε ἄνθη τοῦ Παραδείσου
χαίρετε σκεύη τοῦ Παρακλήτου
χαίρετε τῆς ὕλης τοῦ κόσμου μακρύναντες
χαίρετε τάς πάγας τοῦ πλάνου συντρίψαντες
χαῖρε ἱερά συνέλευσις, ἧς ἐν μέσῳ ὁ Χριστός
χαῖρε ἅγιον συνάθροισμα, δι᾿ οὗ πέπτωκεν ἐχθρός
χαίρετε πολιτείας ἰσαγγέλου εἰκόνες
χαίρετε τάς ἐλλάμψεις τοῦ Σωτῆρος ὁρῶντες
χαίρετε θεῖα ἐνδιαιτήματα
χαίρετε ἄμωμα σεπτά θύματα
χαίρετε μέτοχοι τῶν αἰωνίων
χαίρετε σύσκηνοι τῶν ἀϊδίων

*χαίρετε Ἀββάδες Ὅσιοι.*

**Ζῶντες** ζωήν ὁσίαν, αἵμασι μαρτυρίου, λαμπρύναντες σ᾿ αὐτούς θεοφόροι, προσήχθητε τῷ Παμβασιλεῖ, ὡς ἀσκηταί καί ἀθλοφόροι Ὅσιοι, καί διττῶς στεφανούμενοι, συμψάλλετε τῷ Ἀθλοθέτῃ.

*Ἀλληλούϊα.*

**Ἤνεγκε** Πανοικτίρμον, τήν ὁρμήν τῶν βαρβάρων, χορός τῶν θεοφόρων Πατέρων, καί ὥσπερ θύματα λογικά, προσηνέχθησάν σοι κατακοπτόμενοι˙ ὧν Σῶτερ ταῖς δεήσεσιν, οἰκτείρησον τούς ἐκβοῶντας.

www.tezaurliturgic.ro



χαίρετε ἄσαρκοι ἐν ἀσκήσει
χαίρετε ἄτρεπτοι ἐν ἀθλήσει
χαίρετε βαρβάρων ἑλόντες τήν δύναμιν
χαίρετε δαιμόνων νικῶντες τήν σύντασιν
χαῖρε ἕνωσις θεόληπτος διαφόρων ἐκ χωρῶν
χαῖρε σύνδεσμος μακάριος θεοσδότων δωρεῶν
χαίρετε ἀπαθείας θησαυροί θεοφόροι
χαίρετε εὐψυχίας ἀθληταί νικηφόροι
χαίρετε Πνεύματος καταγώγια
χαίρετε εὐσεβείας γεώργια
χαίρετε πάντων πρός Χριστόν μεσῖται
χαίρετε πόνων ὁσίων ἀλεῖπται

*χαίρετε Ἀββάδες Ὅσιοι.*

**Θεοφόρον** χορείαν, τῶν Ὁσίων Ἀββάδων, μαρτυρικῶς ἀγωνισαμένων, ὕμνοις καί ᾠδαῖς πνευματικαῖς, τῶν μοναζόντων οἱ χοροί ὑμνήσωμεν, καί τόν τούτους δοξάσαντα, μεγαλύνωμεν ἐκβοῶντες·

*Ἀλληλούϊα.*

**Ἱερεῖα** καθάπερ, καί καρπώματα θεῖα, προσήχθητε Χριστῷ τῷ Σωτῆρι, τυθέντες βαρβαρικαῖς χερσί, πολυτρόποις αἰκίαις θεοφόρητοι· διό ὑμῶν τήν ἄθλησιν, μακαρίζοντες ἀναβοῶμεν·

χαίρετε κόσμου οἱ ὑπερόπται
χαίρετε θείου φωτός ἐπόπται
χαίρετε ἐρήμου πολῖται ἰσάγγελοι
χαίρετε ἁγίων Ἀγγέλων ἐφάμιλλοι
χαῖρε σύνθημα οὐράνιον ἁρμονίας μυστικῆς
χαῖρε σύστημα μακάριον ἐναρέτου ἀγωγῆς
χαίρετε λαμπαδοῦχοι πολιτείας ἁγίας
χαίρετε στρατιῶται οὐρανίου στρατείας
χαῖρετε νόες οἱ θεοφόρητοι
χαίρετε ἄνθρωποι ὑπερκόσμιοι

www.tezaurliturgic.ro


χαίρετε ἔμπλεοι θείων χαρίτων
χαίρετε μέτοχοι γερῶν ἀρρήτων

*χαίρετε Ἀββάδες Ὅσιοι.*

**Κόσμου** ἔξω βιοῦντες, ὡς τήν ὕλην λιπόντες, ὑπέστητε βαρβάρων τήν ρύμην, καί θανατούμενοι ἀπηνῶς, Ὁσιομάρτυρες Ἀββάδες Ὅσιοι, πρός ἀθάνατον εὔκλειαν, ἀνήλθετε Χριστῷ βοῶντες·

*Ἀλληλούϊα.*

**Λελυμένοι** τῶν κάτω, τῷ βιαίῳ θανάτῳ, συνήφθητε τάξεσι ταῖς ἄνω, καί Ὁσιομαρτύρων χοροῖς, ἠριθμήθητε Ἀββάδες μακάριοι, εἰρήνην τε καί λύτρωσιν, ἐξαιτούμενοι τοῖς βοῶσι·

χαίρετε θείου φωτός δοχεῖα
χαίρετε ὕλης ὑπεροψία
χαίρετε βαρβάρων τήν ρύμην μή πτήξαντες
χαίρετε ἀπίστων τήν πλάνην αἰσχύναντες
χαῖρε ἕνωσις θεόπλοκος θεοφόρων καρδιῶν
χαῖρε συναφής συνέλευσις οὐρανίων ἐννοιῶν
χαίρετε τῶν ἐπάθλων κοινωνοί τῶν ἀφθάρτων
χαίρετε καταπέλται ψυχικῶν παθημάτων
χαίρετε σύμφωνοι ἐν τοῖς σκάμμασι
χαίρετε σύναθλοι ἐν τοῖς πάθεσι
χαίρετε ἔλεγχοι πάσης κακίας
χαίρετε σύσκηνοι ἀθανασίας

*χαίρετε Ἀββάδες Ὅσιοι.*

**Μάρτυρες** θεοφόροι, ὡς τυθέντες προθύμως, ὑπέρ τῆς τοῦ Σωτῆρος ἀγάπης, ὤφθητε Ἀββάδες θαυμαστοί, καί μαρτυρικῶν ἐπάθλων ἐτύχετε, καί χάριν πᾶσι δίδοσθε, τοῖς τῇ Τριάδι ἐκβοῶσιν·

*Ἀλληλούϊα.*

**Νάμασι** τῶν δακρύων, ἀρδευθέντες Ἀββάδες, αἱμάτων ἡγιάσθητε ρείθροις, καί διπλῶν παρά Χριστοῦ τιμῶν, ἐν οὐρα-

www.tezaurliturgic.ro

νοῖς ἠξιώθητε Ἅγιοι, ἁγιασμόν καί ἄφεσιν, αἰτούμενοι τοῖς ἐκβοῶσι˙

χαίρετε κόσμου οἱ ὑπερόπται
χαίρετε θείου φωτός ἐπόπται
χαίρετε Ἀγγέλων ὁρῶντες τήν ἔλλαμψιν
χαίρετε τήν θείαν κτησάμενοι μέθεξιν
χαῖρε σύνθεσις ἐν πνεύματι καί ἀγάπῃ ἀληθεῖ
χαῖρε σύναψις ἀήττητος ἐν ἰσχύϊ θεϊκῇ
χαίρετε τροπαιοῦχοι ἀθληταί τοῦ Κυρίου
χαίρετε θεοφόροι ἀσκηταί τῆς ἐρήμου
χαίρετε Ὅσιοι ἐνθεώτατοι
χαίρετε Μάρτυρες καρτερώτατοι
χαίρετε πάντων μοναστῶν προστάται
χαίρετε Κυρίου οἱ παραστάται

*χαίρετε Ἀββάδες Ὅσιοι.*

**Ξένοι** ὄντες τοῦ κόσμου, ἐν τῇ Λαύρᾳ ἀσκοῦντες, ὡς ἄγγελοι τοῦ Σάββα τοῦ θείου, ξένων ἐτύχετε δωρεῶν, ξενοτρόπως θανόντες παναοίδιμοι˙ διό ὑμῶν τήν ἄθλησιν, μακαρίζοντες ἐκβοῶμεν˙

*Ἀλληλούϊα.*

**Ὅμιλος** θεοφόρος, ἐν μιᾷ συμφωνίᾳ, καί σώμασιν ἐν πλείστοις ὀφθέντες, ἠνέγκατε ἀνδρείᾳ ψυχῇ, βαρβαρικήν ἰταμότητα Ὅσιοι˙ ἡμεῖς δέ τήν στερρότητα, ἀγάμενοι ὑμῶν βοῶμεν˙

χαίρετε σύμφωνοι ἐν τοῖς πόνοις
χαίρετε ἔνθεοι ἐν τοῖς λόγοις
χαίρετε ἐν ἄθλοις στερροί καί ὁμόψυχοι
χαίρετε ἐν πότμῳ βιαίῳ ἀπτόητοι
χαῖρε θαυμαστή ὁμήγυρις καί Θεοῦ παρεμβολή
χαῖρε ἅγιον συνάθροισμα, μοναζόντων χαρμονή
χαίρετε οἱ λαβόντες ἀφθαρσίας τό στέφος
χαίρετε οἱ πατοῦντες τοῦ Βελίαρ τό σθένος

www.tezaurliturgic.ro



χαίρετε λύχνοι ἀειλαμπέστατοι
χαίρετε ἄρνες Χριστοῦ θεόθυτοι
χαίρετε δόξης Θεοῦ κληρονόμοι
χαίρετε Ὅσιοι οἱ θεοφόροι

*χαίρετε Ἀββάδες Ὅσιοι.*

**Παρεμβολή** ἁγία, τοῦ Θεοῦ θεοφόροι, ἣν ὁ Ἰακώβ πάλαι κατεῖδεν, ὡράθητε ἀββάδες σοφοί, μαρτυρικῇ κεκοσμημένοι χάριτι, καί πάντας συναγείρετε, τῇ Τριάδι πιστῶς κραυγάζειν·

*Ἀλληλούϊα.*

**Ρώμην** καί τήν μανίαν, τῶν ἀπίστων βαρβάρων, μηδόλως πτοηθέντες Ἀββάδες, ἐτύθητε οἷά περ ἀμνοί, καί τῷ Χριστῷ ὡς θυσία προσήχθητε, ἁμαρτιῶν συγχώρησιν, αἰτούμενοι τοῖς ἐκβοῶσι·

χαίρετε ἄρνες τοῦ Ζωοδότου
χαίρετε πτῶσις τοῦ βροτοκτόνου
χαίρετε Ἀγγέλων τῆς δόξης συμμέτοχοι
χαίρετε ἁγίων ἁπάντων συνέστιοι
χαῖρε σύνδεσμος ἑνούμενος συμφωνίᾳ μυστικῇ
χαῖρε ἕνωσις τοῦ πνεύματος ἐν φρονήσει ἀληθεῖ
χαίρετε τῶν τυράννων καθελόντες τό θράσος
χαίρετε τῆς ἀγάπης γεωργοῦντες τό κράτος
χαίρετε ἄνθρακες τῆς ἀσκήσεως
χαίρετε ἔμπλεοι τῆς φρονήσεως
χαίρετε κλήματα τῆς εὐσεβείας
χαίρετε βότρυες τῆς ἡσυχίας

*χαίρετε Ἀββάδες Ὅσιοι.*

**Σύμφωνον** ὑμῖν ὕμνον, ᾄδομεν θεοφόροι, εὐφημοῦντες ὑμῶν τούς καμάτους, ἐξαιρέτως δέ ὑμᾶς τιμᾷ, ἡ τοῦ Ἁγίου Σάββα Λαύρα ἔνδοξος· ἐν αὐτῇ γάρ ἠθλήσατε, ψάλλοντες Χριστῷ ὁμοφώνως·

*Ἀλληλούϊα.*

www.tezaurliturgic.ro



**Τῶν ῾Οσίων** τοῖς δήμοις, καί Μαρτύρων συνόντες, ῾Οσιομάρτυρες θεοφόροι, καί τῆς ἴσης τρυφῶντες χαρᾶς, καί κατά μέθεξιν θείαν θεούμενοι, ὑπέρ ἡμῶν πρεσβεύετε, τῶν ἐκβοώντων ὑμῖν ταῦτα·

χαίρετε σύσκηνοι ἐν ὑψίστοις
χαίρετε ἔνδοξοι ἐν ῾Οσίοις
χαίρετε Μαρτύρων τυχόντες τῆς στάσεως
χαίρετε ἀΰλου τρυφῶντες ἐλλάμψεως
χαῖρε στῖφος θεοσύλλεκτον ὁμοφρόνων ᾿Ασκητῶν
χαῖρε δῆμος θεοστράτευτος ἀηττήτων ᾿Αθλητῶν
χαίρετε θεῖαι στῆλαι ἱερῶν παλαισμάτων
χαίρετε μυροθῆκαι θεϊκῶν χαρισμάτων
χαίρετε ῞Οσιοι θεοφόρητοι
χαίρετε Μάρτυρες θεοδόξαστοι
χαίρετε πρέσβεις ἡμῶν πρός τόν Κτίστην
χαίρετε λύοντες παθῶν ὁμίχλην

*χαίρετε ᾿Αββάδες ῞Οσιοι.*

**῞Υμνησαν** τῶν ᾿Αγγέλων, οἱ χοροί τήν ἀνδρείαν, ὑμῶν ὦ θεοφόροι ᾿Αββάδες· μεθ᾿ ὧν συνόντες ἐν οὐρανοῖς, καί τό ἀμήχανον κάλλος θεώμενοι, ἀπαύστως ἱκετεύετε, ὑπέρ ἡμῶν τῶν ἐκβοώντων.

*᾿Αλληλούϊα.*

**Φῶς** ὁρῶντες τό θεῖον, τῆς ῾Αγίας Τριάδος, ῾Οσιομάρτυρες θεοφόροι, καί ἀλήκτου τρυφῶντες ζωῆς, σκοτασμοῦ παθῶν ἡμᾶς ἀπαλλάξατε, ὑμῶν ταῖς παρακλήσεσι, τούς εὐλαβῶς ὑμῖν βοῶντας·

χαίρετε ἄστρα φωτός ἀΰλου
χαίρετε κρῆναι νάματος θείου
χαίρετε αὐτόπται τῆς ἄνω λαμπρότητος
χαίρετε μεσῖται τῆς θείας χρηστότητος
χαῖρε νέφος πολυσύνθετον ᾿Ασκητῶν θεοειδῶν
χαῖρε σύστημα θεότιμον ᾿Αθλοφόρων ἱερῶν
χαίρετε τοῦ Σωτῆρος θεοφόροι ὁπλῖται

www.tezaurliturgic.ro



χαίρετε νικηφόροι καί λαμπροί στεφανῖται
χαίρετε Χριστοῦ Ὁσιομάρτυρες
χαίρετε ἐν πᾶσι διαλάμποντες
χαίρετε θείας βιοτῆς πυξία
χαίρετε χάριτος ἡ συστοιχία

*χαίρετε Ἀββάδες Ὅσιοι.*

**Χιλιάσιν** Ἀγγέλων, Δανιήλ ὥσπερ ἔφη, καί μυριάσιν αὐτῶν συνόντες, Ἀββάδων σύλλογε θαυμαστέ, καί ἐπαξίων ἐπάθλων μετέχοντες, μή παύσησθε πρεσβεύοντες, ὑπέρ ἡμῶν τῶν ἐκβοώντων˙

*Ἀλληλούϊα.*

**Ψαλμοσύνθετον** ὕμνον, ὑμῖν πλέκομεν πόθῳ, Ὁσιομάρτυρες θεοφόροι, ὅνπερ δεξάμενοι εὐμενῶς, τήν ἐκ Θεοῦ ἡμῖν χάριν αἰτήσασθε˙ οὐ παύομεν γάρ Ἅγιοι, ὑμῖν κραυγάζοντες τοιαῦτα˙

χαίρετε πλήρεις θείων χαρίτων
χαίρετε ῥῦσται πολλῶν κινδύνων
χαίρετε Μονῆς τῆς τοῦ Σάββα κλεΐσματα
χαίρετε ἡμῶν ἱερά ἐντρυφήματα
χαῖρε σύναξις περίδοξος, εὐσεβῶν φωταγωγοί
χαῖρε ὅμιλε θεόληπτε, μοναστῶν μυσταγωγοί
χαίρετε Ἐκκλησίας νοητοί λαμπαδοῦχοι
χαίρετε ἡμῶν πάντων συμπαθεῖς πολιοῦχοι
χαίρετε ζωῆς μου ἀντιλήπτορες
χαίρετε παντός πιστοῦ συλλήπτορες
χαίρετε μύσται τῆς θείας ἀγάπης
χαίρετε ξίφη ἐχθροῦ τῆς ἀπάτης

*χαίρετε Ἀββάδες Ὅσιοι.*

**Ὦ μακάριε** δῆμε, Ἀσκητῶν θεοφόρων, μαρτυρικοῖς πόνοις δοξασθέντων, (ἐκ γ') τῆς τοῦ Ἁγίου Σάββα Μονῆς, πανευωδέστατα ἄνθη καί ἄφθαρτα, Χριστῷ ἀεί πρεσβεύετε, ὑπέρ ἡμῶν τῶν ἐκβοώντων˙

*Ἀλληλούϊα.*

www.tezaurliturgic.ro



*Καί αὖθις τό Κοντάκιον. Ἦχος πλ. δ'. Τῇ ὑπερμάχῳ.*

Τήν τῶν ἀγγέλων πολιτείαν ἐκμιμούμενοι
Ὑπό βαρβάρων πολυτρόπως ἀπεκτάνθητε
Ἐν τῇ Λαύρᾳ τοῦ Ἁγίου Σάββα Πατέρες.
Ἀλλ' ὡς Ὅσιοι καί Μάρτυρες πρεσβεύσατε
Πονηρῶν ἐπηρειῶν λυτροῦσθαι πάντοτε
Τούς κραυγάζοντας, χαίροις ἅγιον σύστημα

*Δίστιχον.*

Ἐκ πάσης Ἀββάδες λυτροῦσθέ με λύπης
Γεράσιμον τό χαῖρε ὑμῖν βοῶντα.

